## Ὁ Οἶκος.

Τράνωσόν μου τὴν γλῶτταν Σωτήρ μου· πλάτυνόν μου τὸ στόμα· καὶ πληρώσας αὐτό, κατάνυξον τὴν καρδίαν μου, ἵνα οἷς λέγω ἀκολουθήσω, καὶ ἃ διδάσκω ποιήσω πρῶτος· πᾶς γὰρ ποιῶν καὶ διδάσκων, φησίν, οὗτος μέγας ἐστίν· ἐὰν γὰρ λέγω μὴ πράττων, ὡς χαλκὸς ἠχῶν λογισθήσομαι. Διὸ λαλεῖν μοι τὰ δέοντα, καὶ ποιεῖν τὰ συμφέροντα δώρησαι, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

## Συναξάριον.

Τῇ Α΄ τοῦ αὐτοῦ μηνός, ἡ Σύναξις τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων τῶν Δώδεκα καὶ δήλωσις, ὅπως, καὶ ποῦ ἕκαστος αὐτῶν ἐκήρυξε καὶ ἐτελειώθη.

Στίχ. Τιμῶ Θεόπτας δώδεκα Χριστοῦ φίλους,
Ἥρωας ἄνδρας καὶ θεοὺς τολμῶ λέγειν.
Δώδεκα εὐκλέας τριακοστὴ ἀγείρει μύστας.

### Πέτρος.

Πέτρος ὁ Ἀπόστολος, καὶ πρῶτος τῶν Μαθητῶν, πρότερον τὸ εὐαγγέλιον κηρύξας ἐν Ἀντιοχείᾳ, ἔπειτα ἐν Πόντῳ καὶ Γαλατίᾳ καὶ Καππαδοκίᾳ, Ἀσίᾳ τε καὶ Βιθυνίᾳ, κατῆλθε μέχρι Ῥώμης αὐτῆς. Καὶ διὰ τὸ παρευδοκιμῆσαι αὐτὸν ἐν τοῖς θαύμασι τὸν Σίμωνα μάγον, ὑπὸ Νέρωνος σταυρωθεὶς κατὰ κεφαλῆς, τελειοῦται.

### Ἀνδρέας.

Ἀνδρέας ὁ Ἀπόστολος, ὁ πρωτόκλητος, καὶ ἀδελφὸς Πέτρου εἰς πᾶσαν τὴν παράλιον Βιθυνίας τε καὶ Πόντου καὶ Ἀρμενίας τὸν Χριστὸν κηρύξας, καὶ ὑποστρέψας διὰ τοῦ Πόντου καὶ Βυζαντίδος, κατῆλθε μέχρι τῆς Ἑλλάδος· καὶ ἐν Πάτραις τῆς Ἀχαΐας ὑπὸ Αἰγεάτου σταυρωθεὶς τελειοῦται.

### Ἰάκωβος.

Ἰάκωβος ὁ Ἀπόστολος, ὁ τοῦ Ζεβεδαίου, ἐν πάσῃ τῇ Ἰουδαίᾳ τὸν Χριστὸν κηρύξας, ὑπὸ Ἡρώδου τοῦ Ἀγρίππα, διὰ τὸ εὐπαῤῥησίαστον αὐτοῦ, μαχαίρᾳ ἀναιρεῖται.

### Ἰωάννης.

Ἰωάννης ὁ Εὐαγγελιστής, καὶ ἀδελφὸς Ἰακώβου, ὁ ἐπὶ τὸ στῆθος τοῦ Χριστοῦ ἀναπεσών, ἐν Ἀσίᾳ καὶ ἐν Πάτμῳ ὑπὸ Δομετιανοῦ ἐξορισθείς, καὶ πολλὰ πλήθη προσαγαγὼν τῷ Χριστῷ ὑποστρέψας ἐν Ἐφέσῳ, ἐν εἰρήνῃ ἀνεπαύσατο, πλήρης ἡμερῶν ὑπάρχων.

### Φίλιππος.

Φίλιππος ὁ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, συμπολίτης Ἀνδρέου καὶ Πέτρου, καὶ αὐτὸς ἐν τῇ Ἀσίᾳ καὶ Ἱεραπόλει, σὺν Μαριάμνῃ τῇ ἀδελφῇ αὐτοῦ καὶ Βαρθολομαίῳ, τὸν Χριστὸν κηρύξας, ὑπὸ τῶν Ἑλλήνων σταυρωθεὶς τελειοῦται.

### Βαρθολομαῖος.

Βαρθολομαῖος ὁ Ἀπόστολος, Ἰνδοῖς τοῖς καλουμένοις Εὐδαίμοσι κηρύξας τὸ τοῦ Χριστοῦ εὐαγγέλιον, σταυρῷ προσηλωθεὶς ἐν Ἀλβανοπόλει, ἐν αὐτῇ τελειοῦται· τὸ δὲ ἅγιον αὐτοῦ Λείψανον, ἐν λάρνακι ἐμβληθέν, τῇ θαλάσσῃ ἐναποῤῥίπτεται.

### Θωμᾶς.

Θωμᾶς, ὁ καὶ Δίδυμος, Πάρθοις καὶ Μήδοις, Πέρσαις καὶ Ἰνδοῖς, τοῖς καλουμένοις Εὐδαίμοσι, κηρύξας τὸ τοῦ Χριστοῦ εὐαγγέλιον, καὶ ὑπ᾽ αὐτῶν λόγχαις διατρωθεὶς τελειοῦται.

### Ματθαῖος.

Ματθαῖος ὁ καὶ Λευΐ, καὶ ἀδελφὸς τοῦ Ἰακώβου τοῦ Ἀλφαίου, ὁ Τελώνης καὶ Εὐαγγελιστής, ὁ καὶ ποιήσας δοχὴν μεγάλην τῷ Ἰησοῦ, ἐκοιμήθη ἐν Ἱεραπόλει τῆς Συρίας, διὰ πυρὸς τελειωθείς.

### Ἰάκωβος Ἀλφαίου.

Ἰάκωβος Ἀλφαίου, ὁ καὶ ἀδελφὸς Ματθαίου (ἀμφότεροι γὰρ τὸν Ἀλφαῖον ἔσχον πατέρα) ὑπὸ τῶν ἀπίστων σταυρῷ ἀναρτηθείς, τελειοῦται.

### Θαδδαῖος.

Ἰούδας Ἰακώβου, ὁ παρὰ μὲν τῷ Λουκᾷ, ἔν τε τῷ Εὐαγγελίῳ καὶ ταῖς Πράξεσιν, Ἰούδας ὀνομαζόμενος, παρὰ δὲ Ματθαίῳ καὶ Μάρκῳ, Θαδδαῖος καὶ Λεββαῖος καλούμενος, ἀδελφὸς κατὰ σάρκα χρηματίζων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν Μεσοποταμίᾳ κηρύξας τὸ εὐαγγέλιον, ὕστερον ἐκοιμήθη ἐν Ἀρατὰτ τῇ πόλει, ὑπὸ ἀπίστων ἀναρτηθεὶς καὶ τοξευθείς.

### Σίμων.

Σίμων ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, ὁ καὶ Ναθαναὴλ ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ ὀνομαζόμενος, πᾶσαν τὴν Μαυριτανίαν, καὶ τὴν τῶν Ἄφρων χώραν διελθών, καὶ κηρύξας τὸν Χριστόν, σταυρωθεὶς ὑπ᾽ αὐτῶν τελειοῦται.

### Ματθίας.

Ματθίας, ὁ ἀντὶ τοῦ προδότου συγκαταριθμηθεὶς τοῖς Ἀποστόλοις, ἐν τῇ Αἰθιοπίᾳ κηρύξας τὸν Χριστόν, καὶ πολλαῖς τιμωρίαις ὑπ᾽ αὐτῶν αἰκισθείς, τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται.

Ταῖς τῶν Ἁγίων καὶ πανευφήμων Ἀποστόλων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

## Τῶν Κορυφαίων. Ὠδὴ ζ. Οὐκ ἐλάτρευσαν.

Μεμακάρισται, ὁ Πέτρος παρὰ τοῦ Χριστοῦ, ὡς τοῦτον φάμενος, Υἱὸν τοῦ ζῶντος Θεοῦ· Παῦλος δὲ τετίμηται, ὡς σκεῦος εὔχρηστον· καὶ ἀμφότεροι συμμελῳδοῦντες ἔψαλλον· Ὁ Θεὸς εὐλογητὸς εἶ.

Scanned with CamScanner